υἱόν, καὶ ἴδῃ πάσας τὰς ἁμαρτίας τοῦ πατρὸς αὐτοῦ, ἃς ἐποίησεν,
καὶ φοβηθῇ καὶ μὴ ποιήσῃ κατὰ ταύτας, [15]ἐπὶ τῶν ὀρέων οὐ βέ- 15
βρωκεν καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο εἰς τὰ ἐνθυμήματα
οἴκου Ισραηλ καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐκ ἐμίανεν
[16]καὶ ἄνθρωπον οὐ κατεδυνάστευσεν καὶ ἐνεχυρασμὸν οὐκ ἐνεχύ- 16
ρασεν καὶ ἅρπαγμα οὐχ ἥρπασεν, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι
ἔδωκεν καὶ γυμνὸν περιέβαλεν [17]καὶ ἀπ᾽ ἀδικίας ἀπέστρεψε τὴν 17
χεῖρα αὐτοῦ, τόκον οὐδὲ πλεονασμὸν οὐκ ἔλαβεν, δικαιοσύνην ἐποί-
ησεν καὶ ἐν τοῖς προστάγμασίν μου ἐπορεύθη, οὐ τελευτήσει ἐν
ἀδικίαις πατρὸς αὐτοῦ, ζωῇ ζήσεται. [18]ὁ δὲ πατὴρ αὐτοῦ ἐὰν θλί- 18
ψει θλίψῃ καὶ ἁρπάσῃ ἅρπαγμα, ἐναντία ἐποίησεν ἐν μέσῳ τοῦ
λαοῦ μου καὶ ἀποθανεῖται ἐν τῇ ἀδικίᾳ αὐτοῦ. — [19]καὶ ἐρεῖτε Τί 19
ὅτι οὐκ ἔλαβεν τὴν ἀδικίαν ὁ υἱὸς τοῦ πατρὸς αὐτοῦ; ὅτι ὁ υἱὸς
δικαιοσύνην καὶ ἔλεος ἐποίησεν, πάντα τὰ νόμιμά μου συνετήρη-
σεν καὶ ἐποίησεν αὐτά· ζωῇ ζήσεται. [20]ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα 20
ἀποθανεῖται· ὁ δὲ υἱὸς οὐ λήμψεται τὴν ἀδικίαν τοῦ πατρὸς αὐτοῦ,
οὐδὲ ὁ πατὴρ λήμψεται τὴν ἀδικίαν τοῦ υἱοῦ αὐτοῦ· δικαιοσύνη
δικαίου ἐπ᾽ αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ᾽ αὐτὸν ἔσται. [21]καὶ 21
ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ, ὧν ἐποί-
ησεν, καὶ φυλάξηται πάσας τὰς ἐντολάς μου καὶ ποιήσῃ δικαιο-
σύνην καὶ ἔλεος, ζωῇ ζήσεται, οὐ μὴ ἀποθάνῃ. [22]πάντα τὰ παρα- 22
πτώματα αὐτοῦ, ὅσα ἐποίησεν, οὐ μνησθήσεται· ἐν τῇ δικαιοσύνῃ
αὐτοῦ, ᾗ ἐποίησεν, ζήσεται. [23]μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ 23
ἀνόμου, λέγει κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς
πονηρᾶς καὶ ζῆν αὐτόν; [24]ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς 24
δικαιοσύνης αὐτοῦ καὶ ποιήσῃ ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας,
ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν,
οὐ μὴ μνησθῶσιν· ἐν τῷ παραπτώματι αὐτοῦ, ᾧ παρέπεσεν, καὶ
ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται. —
[25]καὶ εἴπατε Οὐ κατευθύνει ἡ ὁδὸς κυρίου. ἀκούσατε δή, πᾶς οἶκος 25

14 κατα ταυτας] κατ αυτας A || 15 ου βεβρωκεν] ουκ εφαγεν A || 16 fin. BA†] + ιματιον rel. (in *O* sub ※): cf. 7 et Helbing Kasussyntax p. 46 || 19 τι et την et ο $1^0$ et του > A | την αδικ./ο υιος] tr. *L* = 𝔐 | αυτου > BQ = 𝔐 | εποιησεν $1^0$] πεποιηκεν BQ† || 20 αποθαν. Bpau.] pr. αυτη rel. (in *O* sub ※) | ο δε] > A†, δε > *L* | αυτου $1^0$ > B† = 𝔐 | ο $2^0$ > A | αυτου $2^0$ > Bpau. = 𝔐 | δικαιου et ανομου] ω pro ου B† || 21 init. — εκ] εαν δε(cf. 10) αποστραφη ανομος απο A | φυλαξη A | δικαιοσυνην και ελεος] τα δικαιωματα μου A | ου B†] pr. και rel., sed in 28 fere omn. ου tantum || 22 init. — οσα] πασαι αι αδικιαι ας A | ου μνησθησεται(sensu passiuo, cf. Thack. p. 276) Bpau.] ου μη μνησθωσιν A: cf. 24; ου μη μνησθησεται αυτω *L* (αυτω in *O* sub ※) | εν] pr. αλλ A | ζησεται] pr. εν αυτη A || 23 μη θελησει θελησω] οτι ου βουλομαι A: cf. 33 11 | κυριος Bpau.] pr. κυριος Amu.: cf. 2 4; pr. αδωναι *L*: cf. 5 5 | οδου] + αυτου A || 24 εκ] απο A | ποιηση (cf. 26. 27)] -σαι B || 25 κατευθυνει $1^0$] κατορθοι A | πας > B = 𝔐